ψαντες τῷ λόγῳ, οἷος γέγονεν ὁ θαυμάσιος, καὶ εἰς ὅσον μέτρον πνευματικῆς ἔφθασεν ἀναβάσεως, τοῖς συνειλεγμένοις καθυποδείξωμεν.

Πίστεως μὲν γὰρ εἶχε λίαν ὀρθῶς, οὐ πόρρω που νεύων τῆς εὐσεβείας· καθὼς ἔκ τε τῶν αὐτοῦ συγγραμμάτων, ἔκ τε τῆς περὶ αὐτὸν ἀπὸ τῆς ἐκκλησίας περιειλήφαμεν δόξης· ἐξ ἴσου γὰρ ἐμυσάττετο τήν τε Σαβελλίου παράλογον σύγχυσιν, καὶ τὴν Ἀρείου μανιώδη διαίρεσιν. ἵστατο δὲ τῶν τῆς εὐσεβείας ὅρων ἐντός· διαιρῶν μὲν τῷ ἀριθμῷ, συνάπτων δὲ τῇ οὐσίᾳ τὴν μίαν καὶ ἀσύγχυτον, καὶ παναγίαν τριάδα· ὡς ἂν μήτε πενίαν θεότητος Ἰουδαϊκῶς ὀνειδίζοιτο, μήτε δήμῳ θεῶν Ἑλληνικῶς ἐκβακχεύοιτο· ἃ παθεῖν οἱ περὶ τὴν ἀκατάληπτον τριάδα παροινήσαντες ἐξελέγχονται. Ἀπολιναρίου δὲ τοσοῦτον τὸ ἄλογον ἀπεπέμπετο δόγμα, ὡς πᾶσαν θέσθαι σπουδὴν ἐκ πάσης αὐτὸ Χριστιανικῆς ἐξῶσαι ψυχῆς.

Ἀλλὰ μὴν καὶ τῶν Ἀνομοίων διὰ πολλῶν ἀποδεικτικῶν τε καὶ γραφικῶν λόγων, τὰ ἀπύλωτα ἐνέφραξε στόματα, μεγίστην ἀσφάλειαν ἡμῖν τὰ αὐτοῦ θεοδίδακτα λιπὼν λόγια. Νοουάτου δὲ εἰ βούλοιτό τις τὸ θρασυτάτου ἥττημα κατιδεῖν, ἐν τῇ διὰ τῶν λόγων τοῦ Ἐφραὶμ πάλῃ τὸ τοῦ ἐναντίου πτῶμα βλεπέτω, ἐν ᾗ τοσοῦτον εὑρήσει τὸ περιὸν τῆς δυνάμεως τοῦ ἡμετέρου διδασκάλου ἐν τῇ τοῦ λόγου παρατάσει, ὅσην ἀνδρὸς παγκρατιαστοῦ, καὶ παιδὸς οὐκ εὐσθενοῦς δι' ἁπαλότητα. οὐ μόνον δὲ τὰς κατ' ἐκεῖνον καιροῦ ἢ καὶ πρόσθεν ἀναφυείσας ἀπὸ τοῦ τῆς κακίας σπορέως ζιζανιώδεις αἱρέσεις, τῷ ὀρθῷ τῆς πίστεως ἐξήλεγξε λόγῳ· ἀλλὰ καὶ τὰς εἰς ὕστερον κακῶς ἀναθαλῆσαι μελλούσας προφητικῷ βλέμματι κατιδὼν, προεξεθέρισεν. καὶ τούτων πλήρης τῶν ἀποδείξεων πᾶσα τούτου συγγραφή τε καὶ ποίησις. οὕτως οὐπώποτε τῆς ἀληθείας, ὁ τῆς ἀληθείας υἱὸς ἐξεφρόνησεν.

Ἐλπὶς δὲ τούτῳ ἡ εἰς Θεὸν μόνη, ἐξ ὅτου ἂν ἀποκειμένων ἐλπίδων τοῖς ἀξίοις αἱ χάριτες. τὸ γὰρ ψαλμικὸν διὰ βίου λόγῳ τε καὶ πράξει μελετῶν ἔφασκεν· ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην. διὰ τοῦτο ἐλπίσαντος αὐτοῦ ἐπὶ Κύριον, ἔλεος αὐτὸν κυκλώσει. καὶ ἡ εἰς αὐτὸν πεποίθησις, ὄρει τοῦτον Σιὼν ἀπεικάζει, ἀλλὰ καὶ ὑψηλοτάτου μακαρισμοῦ ἐντὸς τὸν κεκτημένον καθίστησι, ὡς ἔστιν ἐξ αὐτῶν τῶν προφητῶν καταμαθεῖν, Δαβὶδ μὲν λέγοντος· μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ. Ἱερεμίου δέ· εὐλογημένος ἄνθρωπος ὅστις πέποιθεν ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ. καὶ ἔσται ὡς τὸ ξύλον εὐθηνοῦν παρ' ὕδατα, καὶ ἐπὶ ἰκμά-

A immorantes, qualis eximius iste vir evaserit, & in quem gradum spiritualis sanctimoniæ se ipsum provexerit, his qui convenerunt, ostendamus.

Ad fidem ergo quod attinet, nulla ex parte procul a pietate deflectens, admodum recte sentiebat: quod cum ejus ex scriptis, tum ex Ecclesiæ de ipso existimatione probe cognovimus. Nam æque & falsam Sabellii confusionem, & insanam Arii di-
B visionem abominabatur. Constitit autem in finibus pietatis atque religionis. Sic quippe unam, non confusam, sacrosanctamque Trinitatem, & numero personarum dividebat, & unitate substantiæ conjungebat: ut neque divinitatis inopiam Judaice contumelia afficeret, neque Deorum multitudine, more gentilium ac Paganorum debaccharetur: quod illis contingere deprehendimus, qui in incomprehensibilem Trinitatem petulanter contumeliosi sunt.
C Absurdissimam porro Apollinarii opinionem sic detestabatur, ut omni conatu atque sollicitudine eandem ex quorumvis Christianorum animis evellere studeret.

Quin & futiles effrænatasque Anomiorum linguas variis argumentis, Scripturæque testimoniis penitus repressit, summeque utilia ac divina nobis adversum eos monumenta reliquit. Si quis vero in Sancti Ephraem dis-
D putationum cum Novato conflictu, cupiat audacissimi ejus contueri stragem, adversarii casum respiciat, oportet. Ibi enim usque adeo superiores in ipso certaminis congressu nostri doctoris vires inveniet, ut hunc pancratiastem, atque certatorem invictum, illum autem mollem ac tamquam puerum nondum ætate firmatum dixerit. Neque vero illas dumtaxat, quæ vel tunc, vel antea zizaniorum hæreses ex malitiæ semine fuerant exortæ, fidei rectitudine propulsavit: verum & eas, quæ
E in futurum perniciose pullulare poterant, propheticis oculis prævidens præcidit. Quorquot enim ab eo conscripta sunt volumina, demonstrationibus sunt plena. Numquam ergo veritatis hic filius, ab ipsa deflexerit veritate.

Spem vero omnem in solo Deo defixam habuit, in quo qui suas spes constituunt, præmia referunt. Quapropter & illud Psalmi in cunctis suis factis dictisque usurpare solebat: *In ipso speravit cor meum, & adjutus sum. Quo-* Psal. 27. Psal. 31.
F *niam sperantem in Dominum misericordia circumdabit*. Et fiducia in Dominum, monti Sion similem reddit: inque summam beatitudinem eum qui possidet, constituit, sicut ex ipsis addiscere licet Prophetis, cum dicat David: *Beatus vir, cujus est nomen Domini spes ejus*. Hieremias Psal. 39.
vero: *Benedictus vir, qui confidit in Domino, & erit Dominus fiducia ejus. Et erit quasi lignum quod transplantatur super aquas*, quod ad hu- Jerem. 17. Psal. 1.